www.tezaurliturgic.ro

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΛΑΡΙΣΗΣ ΚΑΙ ΠΛΑΤΑΜΩΝΟΣ

ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ

# ΓΕΩΡΓΙΟΥ

## ΤΟΥ ΕΚ ΡΑΨΑΝΗΣ

ΚΑΙ ΕΝ ΤΥΡΝΑΒΩ, ΤΗΣ ΘΕΣΣΑΛΙΑΣ ΑΘΛΗ-
ΣΑΝΤΟΣ ΚΑΤΑ ΤΟ ΕΤΟΣ 1818, 5ην ΜΑΡΤΙΟΥ

ΠΟΙΗΘΕΙΣΑ ΥΠΟ ΤΟΥ ΕΝ ΑΓΙΩ, ΟΡΕΙ ΟΣΙΟΛΟΓΙΩΤΑΤΟΥ
ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ
ΥΜΝΟΓΡΑΦΟΥ ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ

ΕΠΙΜΕΛΕΙΑ
ΙΓΝΑΤΙΟΥ Θ. ΜΑΔΕΝΛΙΔΗ
ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ

ΘΕΣΣΑΛΟΝΙΚΗ 1980

www.tezaurliturgic.ro

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ

# Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ

ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΙΩΑΝΝΟΥ ΓΕΝΝΑΔΙΟΥ 14 (Τ.Τ. 140)

Αριθ. Πρωτ. 810
Διεκπ. 799

Αθήνησι τῇ 28 Ἀπριλίου 1980

ΘΕΜΑ:

Πρός

Τόν Σεβασμιώτατον Μητροπολίτην

Λαρίσης καί Τυρνάβου κ. Σεραφείμ

Σεβασμιώτατε ἐν Χριστῷ ἀδελφέ,

Εἰς ἀπάντησιν ἐπί τοῦ ὑπ'ἀριθμ.Πρωτ. 153/19-2-1980 ὑμετέρου ἐγγράφου, Συνοδικῇ ἀποφάσει ληφθείσῃ ἐν τῇ Συνεδρίᾳ τῆς 18-4-80 γνωρίζομεν ὑμῖν, ὅτι ἡ Διαρκής 'Ιερά Σόνοδος, λαβοῦσα ὑπ'ὄψιν τήν ὑπ'ἀριθμ.Πρωτ. 1985/17-4-1980 σχετικήν εἰσήγησιν τῆς Συνοδικῆς 'Επιτροπῆς ἐπί τῶν Νομοκανονικῶν καί Δογματικῶν Ζητημάτων, ἔκρινεν ὅτι δύνασθε νά συνεχίζητε τόν ἐορτασμόν τοῦ Τοπικοῦ Νεομάρτυρος 'Αγίου Γεωργίου τοῦ ἐκ Ραφάνης, ἰδιαιτέρως τιμωμένου ἐν τῇ θεοσώστῳ Μητροπόλει ὑμῶν, ἐνέκρινε δέ τήν ὑποβληθεῖσαν σχετικήν 'Ιεράν 'Ακολουθίαν, τήν ποιηθεῖσαν ὑπό τοῦ 'Οσιολογιωτάτου Μοναχοῦ Γερασίμου τοῦ Μικραγιαννανίτου.

'Επί τούτοις κατασπαζόμενοι τήν ὑμετέραν Σεβασμιότητα ἐν Κυρίῳ, διατελοῦμεν μετ'ἀγάπης.-

Ὁ Ἀθηνῶν Σεραφείμ, πρόεδρος

ΙΕΡΑ ΣΥΝΟΔΟΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

Ο ΑΡΧΙΓΡΑΜΜΑΤΕΥΣ

Ἀρχιμ. Ἱερώνυμος

ΑΡΧΙΜ. ΙΕΡΩΝΥΜΟΣ ΛΙΑΠΗΣ

www.tezaurliturgic.ro

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ
ΛΑΡΙΣΗΣ ΚΑΙ ΠΛΑΤΑΜΩΝΟΣ

Ἐν Λαρίσῃ τῇ 19ῃ Φεβρουαρίου 1979

Ἀριθ. Πρωτ. 153

Ἀριθ. Διεκπ. ..........

Πρός

τήν Ἁγίαν καί Ἱεράν Σύνοδον
τῆς Ἐκκλησίας τῆς Ἑλλάδος

**Α Θ Η Ν Α Σ**

Εὐσεβάστως ἀναφέρομεν Ὑμῖν,

ὅτι εἰς τήν ὀρεινήν κωμόπολιν τῆς Μητροπολιτικῆς ἡμῶν Περιφερείας, τήν ἱστορικήν Ραψάνην, ἀπό ἑνός καί ἡμίσεως αἰῶνος, οἱ Χριστιανοί τῆς περιοχῆς περιβάλλουν μετά μεγάλης εὐλαβείας τά λείψανα τοῦ Νεομάρτυρος ΓΕΩΡΓΙΟΥ, εἰς ὅν καί ὕμνοι ἐν τοῖς Ναοῖς ψάλλονται, συντεθειμένοι ἀπό τῶν ἡμερῶν τοῦ μαρτυρίου αὐτοῦ, καί εἰκόνες ἐκτίθενται εἰς τιμητικήν προσκύνησιν τῶν εὐσεβῶν, καί μνήμη κατ᾽ ἔτος ἄγεται πανηγυρικῶς.

Ἐκ σχετικῆς δέ ἐρεύνης καί ἐπιμελοῦς ἀναδιφήσεως, ἥν ἔκαμεν ὁ Ἀρχιμανδρίτης καί Ἱεροκῆρυξ τῆς Ἱερᾶς ἡμῶν Μητροπόλεως π. Ἰγνάτιος Θ. Μαδενλίδης, τήν ὁποίαν καί ἐξέδωκεν τύποις, (ἧς ἀντίτυπα συναποστέλλομεν τῇ παρούσῃ) καταφαίνεται, ὅτι ὁ ἐκ Ραψάνης Νεομάρτυς ΓΕΩΡΓΙΟΣ οὐδόλως ὑπελείφθη τῶν λαμπρῶς ἀγωνισαμένων τόν καλόν τῆς Πίστεως ἀγῶνα καί πολλά ὑπέρ Χριστοῦ ὑπομεινάντων καί ἀναιρεθέντων ἁγίων ἐνδόξων Μαρτύρων.

Μήπω δέ κανονικῶς καί ἁρμοδίως διά Πατριαρχικῆς καί Συνοδικῆς Πράξεως συναριθμηθέντος ἐν τῇ χορείᾳ τῶν γενικώτερον ἑορταζομένων Ἁγίων Μαρτύρων, προαγόμεθα διά τῆς παρούσης ἵνα παρακαλέσωμεν Ὑμᾶς, ὅπως εὐαρεστούμενοι προβῆτε εἰς τάς δεούσας ἐνεργείας καί γενικώτερον γνωριζόμενος καί ἀναγνωριζόμενος ὁ ἐκ Ραψάνης ἀνατείλας Νεομάρτυς ΓΕΩΡΓΙΟΣ, δοξασθῇ ὁ ἐν Τριάδι Θεός ἡμῶν.

Ἅμα δέ ὑποβάλλομεν Ὑμῖν πρός ἔγκρισιν ἱ. Ἀκολουθίαν τοῦ ἐν λόγῳ Νεομάρτυρος, ποιηθεῖσαν ὑπό τοῦ Ὁσιολογ. Μοναχοῦ Γερασίμου τοῦ Μικραγιαννανίτου.

Ἐλάχιστος ἐν Χριστῷ ἀδελφός

Ο ΜΗΤΡΟΠΟΛΙΤΗΣ

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΛΑΡΙΣΗΣ & ΠΛΑΤΑΜΩΝΟΣ

† Ὁ Λαρίσης Σεραφείμ

**ΣΥΝΗΜΜΕΝΑ:**

I. Τρία (3) δοκίμια "ὁ νεομρτ. ΑΓ. ΓΕΩΡΓΙΟΣ" τοῦ Ἀρχιμ. ΙΓΝ. ΜΑΔΕΝΛΙΔΗ Ἱεροκήρυκος.

II. Πολυγραφημένη ΑΚΟΛΟΥΘΙΑ τοῦ ΑΓ. ΓΕΩΡΓΙΟΥ εἰς τετραπλοῦν (4).

www.tezaurliturgic.ro

# ΠΡΟΛΟΓΟΣ

Εἰς τὴν χορείαν τῶν «πεπελεκισμένων» διὰ τὸ ὄνομα τοῦ Κυρίου Μαρτύρων, τῆς ἐν οὐρανοῖς θριαμβευούσης Ἐκκλησίας, «τῶν κυκλόθεν τοῦ θρόνου» τοῦ Ἐσφαγμένου Ἀρνίου συμπαρεδρευόντων, συγκαταριθμεῖται καὶ ὁ Ἅγιος νεομάρτυς Γεώργιος ὁ ἐκ Ραψάνης.

Ὁ καλλίνικος μάρτυς — γραμματοδιδάσκαλος τῆς ἐποχῆς, 20 μόλις ἐτῶν — μιμητὴς γενόμενος τοῦ θείου Πάθους τοῦ Ἐσταυρωμένου θριαμβευτοῦ, ἐλάμπρυνε τὸ εὐσκιόφυλλον καὶ αἱματοβαφὲς δένδρον τῆς καταπιεζομένης ὑπὸ τὸν βαρὺν τουρκικὸν ζυγὸν Ὀρθοδόξου Ἐκκλησίας.

Ἡ Θεσσαλικὴ γῆ καὶ συγκεκριμένως ἡ περιοχὴ πλησίον τῆς μακρᾶς γεφύρας τοῦ Τιταρησίου ποταμοῦ εἰς τὴν πόλιν τοῦ Τυρνάβου, «πιανθεῖσα τοῖς μαρτυρικοῖς αἵμασιν», ἀνέτειλεν ὡς καρποὺς εἰς ζωὴν αἰώνιον τὰς ψυχὰς τῶν χριστιανῶν, τὰς ὁποίας ἐπὶ νομὰς ἁγιωσύνης ποδηγετοῦν αἱ ἐν παρρησίᾳ πρεσβεῖαί Του, ὡς ἀληθοῦς καὶ τετελειωμένου διδασκάλου τῶν προσταγμάτων τοῦ ἀντιδοξάσαντος αὐτὸν Ἰησοῦ.

Ἡ γενέτειρά Του σεμνύνεται διὰ τὴν ἐκλεκτήν της πρὸς τὸν Κύριον προσφορὰν καὶ ἐν τιμῇ καὶ καυχήσει προβάλλει τὰ ἱερά Του λείψανα.

Ἡ Ἱερὰ δὲ Μητρόπολις ἡμῶν ἐπιθυμοῦσα τὴν ἔτι εὐρυτέραν διάδοσιν τῆς ἀθλήσεως τοῦ Νεομάρτυρος, εἶχεν ἀποφασίσει, ὅπως συνταχθῇ τεκμηριωμένον λεπτομερὲς μαρτυρολόγιον καὶ ᾀσματικὴ Ἀκολουθία.

Ἤδη ἀποφάσει τῆς Ἁγίας καὶ Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος ἀνακηρύσσεται ἐπισήμως ἅγιος καὶ ἐγκρίνεται ἡ συνταχθεῖσα Ἀκολουθία μετὰ τοῦ μαρτυρολογίου. Καὶ ἡ 5η Μαρτίου, ἡ ὁποία ἀπετέλεσεν τὴν γενέθλιον διὰ τὴν αἰωνιότητα ἡμέραν τοῦ Ἁγίου Γεωργίου, ἂς ἀποτελῇ δι' ἡμᾶς, οὐχὶ μόνον τὴν εὐφρόσυνον ἡμέραν τῆς μνήμης Του, ἀλλὰ καὶ τὴν ἐγερτήριον ὑπόμνησιν διὰ τὴν μίμησιν τοῦ ζήλου, τῆς πίστεως, τῆς εὐθαρσοῦς ὁμολογίας καὶ τῆς ἐνθέου μαρτυρίας Ἰησοῦ Χριστοῦ, διὰ τῶν ὁποίων διέλαμψεν ὡς φωστὴρ παμφαής.

Πρὸς τὸν θεοφιλῆ τοῦτον σκοπὸν ἀποβλέποντες, ἐθέσαμεν εἰς κυκλοφορίαν τὸ παρὸν τευχίδιον, περιέχον τὸν βίον καὶ τὴν ἀκολουθίαν τοῦ Ἁγίου μας, τὸ ὁποῖον καὶ παραδίδομεν εἰς τὸ πλήρωμα τῆς τοπικῆς μας Ἐκκλησίας καὶ εἰς πάντα πιστόν.

Εἴθε ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ πρεσβειῶν τοῦ Ἁγίου ἐνδόξου νεομάρτυρος Γεωργίου τοῦ Ραψανιώτου, εἰς ὃν ὁ Θεὸς εὐηρεστήθη καὶ ἐπανεπαύθη, νὰ χορηγῇ πλουσίως τὰς δωρεὰς Αὐτοῦ πρὸς πάντας τοὺς ἐν εὐσεβείᾳ καὶ ἀγάπῃ Χριστοῦ τιμῶντας τὴν ἱερὰν αὐτοῦ μνήμην.

Ἐν τῇ Ἱερᾷ Μητροπόλει Λαρίσης τῇ 5η Μαρτίου 1980
(Μνήμη τοῦ Ἁγίου Γεωργίου τοῦ ἐκ Ραψάνης)

Ὁ Μητροπολίτης Λαρίσης
ΣΕΡΑΦΕΙΜ

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## τοῦ ἁγίου ἐνδόξου μεγαλομ. ΓΕΩΡΓΙΟΥ τοῦ ἐκ Ῥαψάνης.

(Ψαλλομένη τῇ 5ῃ Μαρτίου)

ΕΙΔΗΣΙΣ: Εἰς τὴν παροῦσαν ἑορτὴν λαμβάνομεν ὡς ὁδηγὸν τὴν τυπικὴν διάταξιν τῆς ἑορτῆς τῶν ἁγ. 40 Μαρτύρων.

## ΕΝ ΤΩ, ΜΙΚΡΩ, ΕΣΠΕΡΙΝΩ,

*Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.*

***Ἦχος α΄ Τῶν οὐρανίων ταγμάτων.***

Τῆς ἐν Ὀλύμπῳ Ραψάνης δεῦτε οἱ κάτοικοι, καὶ μνήμην τὴν ἁγίαν, τοῦ κλεινοῦ Γεωργίου, τοῦ ἄρτι ἠθληκότος ὑπὲρ Χριστοῦ, στερροτάτῳ φρονήματι, πανηγυρίσωμεν πόθῳ καὶ τὸν αὐτόν, μεγαλύναντα δοξάσωμεν.

Ἀγαλλιᾶται καὶ χαίρει ἡ σὴ πατρὶς Ἀθλητά, ὡς προσφορὰν τελείαν, καὶ εὐπρόσδεκτον δῶρον, προσάξασά σε Μάρτυς τῷ Ποιητῇ, δι' ἀγώνων ἀθλήσεως, ἣν διαφύλαττε πάντοτε ἀσινῆ, ταῖς πρεσβείαις σου Γεώργιε.

www.tezaurliturgic.ro

Απεριτρέπτῳ καρδίᾳ Μάρτυς Γεώργιε, τῶν πάλαι Ἀθλοφόρων, ἐμιμήσω τὸν ζῆλον, καὶ πόνους ἀνυποίστους ὑπενεγκών, δι' ἀγάπην τοῦ Κτίστου σου, ἐπουρανίων ἐπάθλων ἀθλητικῶν, ἐπαξίως κατηξίωσαι.

Τοὺς τοῖς σεπτοῖς σου λειψάνοις πίστει προστρέχοντας, ἐκ πάσης βλάβης ρύου, Νεομάρτυς Κυρίου, καὶ νόσων καὶ κινδύνων καὶ πειρασμῶν, ἀνωτέρους διάσωζε, ταῖς πρὸς Θεόν σου πρεσβείαις διὰ παντός, Ἀθλητὰ Χριστοῦ Γεώργιε.

***Δόξα Πατρί. Ἦχος α'***

Ἀθλητικὴν ἐπιδειξάμενος ἀνδρείαν, ὑπεριδὼν νεότητος ἄνθος, τῶν Μαρτύρων ὑπῆλθες τὰ σκάμματα, Ἀθλοφόρε Γεώργιε· καὶ ἐν τῇ θείᾳ δυνάμει, καθελὼν τὸν ἀντίπαλον, τῆς εὐσεβείας ἔδειξας, πᾶσι τὴν λαμπρότητα. Διὸ ἡ Ἐκκλησία τοῦ Χριστοῦ, τοὺς σοὺς ἀγῶνας μακαρίζουσα, χρεωστικῶς ἄγει τὴν μνήμην σου, αἰτουμένη διὰ σοῦ, παρὰ Θεοῦ τὸ θεῖον ἔλεος.

***Καὶ νῦν. Θεοτοκίον.***

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς Παναγία Παρθένε.

## Ἀπόστιχα

***Ἦχος β' Οἶκος τοῦ Ἐφραθᾶ.***

Νέος ἐν Ἀθληταῖς, Γεώργιε ἐδείχθης, ὑπὲρ Χριστοῦ ἀθλήσας, ἀκαταπλήκτῳ γνώμῃ, ἐν τοῖς ἐσχάτοις ἔτεσι.

***Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει....***

Ἤνεγκας καρτερῶς, ξεσμοὺς καὶ πυρακτώσεις, καὶ ᾔσχυνας τὴν πλάνην, ὁμολογῶν ἀνδρείως, Χριστὸν Μάρτυς Γεώργιε.

***Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.***

Χαίρει πνευματικῶς, Ραψάνη ἡ πατρίς σου, ὁρῶσά σου τὴν νίκην, ἣν ἦρας Νεομάρτυς, κατὰ τοῦ παναλάστορος.

***Δόξα Πατρί. Τριαδικόν.***

Μόνη παντουργική, Ὑπέρθεε Θεότης, Πάτερ Υἱὲ καὶ Πνεῦμα, εἰρήνην ἡμῖν δίδου, λιταῖς τοῦ Ἀθλοφόρου σου.

www.tezaurliturgic.ro

**Καὶ νῦν.** *Θεοτοκίον.*

Τέξασα ἐν σαρκί, τὸν Κύριον τῆς δόξης, ἀναλλοιώτως κόρη, τὴν τῶν ἀνθρώπων φύσιν, ἐθέωσας τῷ τόκῳ σου.

*Νῦν ἀπολύεις τὸν δοῦλον σου. Τρισάγιον. 'Απολυτίκιον (ἐκ τοῦ Μεγάλου 'Εσπερινοῦ) καὶ 'Απόλυσις.*



"ἕως πότε, ὁ δεσπότης ὁ ἅγιος καὶ ὁ ἀληθινός, οὐ κρίνεις καὶ ἐκδικεῖς τὸ αἷμα ἡμῶν ἐκ τῶν κατοικούντων ἐπὶ τῆς γῆς;" Ἀποκάλυψ. ς´ 10.

www.tezaurliturgic.ro

## ΕΝ ΤΩ, ΜΕΓΑΛΩ, ΕΣΠΕΡΙΝΩ,

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια:

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

*Ὡς νομίμως ἀθλήσαντα, ἐν ὑστέροις τοῖς ἔτεσιν, Ἀθλητὰ Γεώργιε εὐφημοῦμέν σε· ὅτι τὴν πίστιν τὴν ἔνθεον, στερρῶς ὡμολόγησας, ἐν τῇ ἄνωθεν ῥοπῇ, καὶ ἐχθροῦ τὰ βουλεύματα καταβέβληκας· καὶ ποικίλαις βασάνοις ὁμιλήσας, μαρτυρίου ἐκομίσω, τὸν ἀμαράντινον στέφανον.*

*Εὐσεβείας ταῖς χάρισι, διαπρέπων Γεώργιε, καὶ σοφίᾳ κρείττονι σεμνηνόμενος, ὡς νεανίας θεόληπτος, ὑπέστης τὴν ἔφοδον, τῶν φθονούντων σε ἐχθρῶν, ἀλλ' ἀκλόνητος ἔμεινας καὶ ἀτίνακτος, τῇ φορᾷ τῶν βασάνων καὶ διῆλθες, μαρτυρίου τοὺς ἀγῶνας, ὡς Ἀθλοφόρος ἀήττητος.*

*Οὐ νεότης τοῦ σώματος, οὐ τυράννων κακόνοια, οὐ πυρὸς κατάφλεξις ἠδυνήθησαν, τῆς τοῦ Χριστοῦ ἀγαπήσεως, χωρίσαι σε Ἅγιε· σὺ γὰρ πόθῳ θεϊκῷ, πυρπολούμε-*

www.tezaurliturgic.ro

νος ἤνεγκας, πᾶσαν στρέβλωσιν, ὡς τρυφὴν ἀνενδότῳ διανοίᾳ, καὶ τῆς ἄνω βασιλείας, μέτοχος ὤφθης Γεώργιε.

Καὶ ὀνύχων κεντήματα, καὶ ποδῶν τὴν προσήλωσιν, ὥσπερ ἄλλου πάσχοντος καθυπέμεινας, καὶ τῆς φλογὸς τὴν δριμύτητα, ὡς δρόσον οὐράνιον, ἐκ Θεοῦ τὴν ἀρωγήν, ἀοράτως δεχόμενος, καὶ κατέφλεξας, τῆς ἀπάτης τὴν ὕλην τοῖς σοῖς ἄθλοις, καὶ Μαρτύρων τῆς εὐκλείας, κατηξιώθης Γεώργιε.

Τυρνάβου ἀγλάϊσμα

Τῆς Ραψάνης τὸ βλάστημα, καὶ ~~λαμπρὸν ἐγκαλλώπισμα~~, καὶ μεσίτης μέγιστος πρὸς τὸν Κύριον, τῶν Ἀθλητῶν τὸν ἰσότιμον, τὸ ἄνθος τὸ εὔοσμον, Ἐκκλησίας τοῦ Χριστοῦ, καὶ νεότευκτον στήριγμα, καὶ ἑδραίωμα, Ὀρθοδόξων ἁπάντων δὲ τὸ κλέος, τὸν Γεώργιον τὸν νέον, ἐν Ἀθλοφόροις τιμήσωμεν.

Τοῖς τιμίοις λειψάνοις σου, ἡ πατρίς σου ἀγάλλεται, καὶ καθαγιάζεται θείῳ Πνεύματι· ὡς θησαυρὸν γὰρ πολύτιμον, καὶ δῶρον θεόσδοτον, καὶ πηγὴν παντὸς καλοῦ, ταῦτα Μάρτυς πλουτήσασα, ἑορτάζει σου, χαρμοσύνως Γεώργιε τὴν μνήμην, τῇ θερμῇ σου προστασίᾳ, διὰ παντὸς καταφεύγουσα.

Δόξα Πατρί. Ἦχος πλ. β´.

Σήμερον ὡς ἀστὴρ νεοφανής, ἡ τοῦ Νεομάρτυρος Γεωργίου μνήμη, τῇ Ἐκκλησίᾳ ἀνέτειλεν, ἡμᾶς καταυγάζουσα· ἐν τῷ φωτὶ γὰρ τοῦ Χριστοῦ, τὸν τῆς ἀθλήσεως δρόμον πορευθείς, ταῖς αὐγαῖς τῆς χάριτος, πυρσεύει τοὺς βοῶντας· χαίροις ὁ τὴν κλῆσιν τοῖς ἔργοις βεβαιώσας, καὶ ἀθλητικὸν γεώργιον, σεαυτὸν Κυρίῳ ἀναδείξας· χαίροις ὁ τῶν πάλαι Μαρτύρων τὴν ἀρετὴν ζηλώσας, καὶ τῶν ἄθλων τούτοις κοινωνήσας, καὶ τῶν ἴσων στεφάνων ἀξιωθείς· χαίροις τὸ τῆς Ραψάνης θεῖον ἀγλάϊσμα, καὶ ~~τῆς ἐν Ὀλύμπῳ περιοίκου γέρας, καὶ~~ ἀρωγὸς θερμότατος. Παρρησίαν ἔχων

του Τυρνάβου.

www.tezaurliturgic.ro

*πρὸς Χριστόν, Νεομάρτυς ἔνδοξε, πρέσβευε ὑπὲρ τῶν τιμώντων σε.*

Καὶ νῦν. Ὁ αὐτός.

*Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε, τίς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς· φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.*

ΕΙΣΟΔΟΣ. **Φῶς ἱλαρόν.** Τὸ Προκείμενον τῆς ἡμέρας. Καὶ τὰ

## Ἀναγνώσματα

### *Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα. (μγ' 9-14)*

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀναγγελεῖ ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ἔτι ἀπ' ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ.

### *Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (γ' 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη

www.tezaurliturgic.ro

κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήνουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## *Σοφία Σολομῶντος τὸ 'Ανάγνωσμα. (ε' 15-ς'3)*

ίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. 'Ενδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. 'Αγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. 'Αντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. 'Ακούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ τοῦ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

www.tezaurliturgic.ro

Εἰς τὴν ΛΙΤΗΝ, Ἰδιόμελα· ἦχος α΄.

Χαίρει ἐν Κυρίῳ, ἡ σὲ βλαστήσασα Ραψάνη, λαμπρυνομένη τῇ ἀθλήσει σου, Νεομάρτυς Γεώργιε· εὐσεβῶς γάρ σε τιθηνήσασα, ἐν πίστει καὶ σεμνότητι, ὡς ἱερεῖον ἄμωμον, καὶ θυσίαν λογικήν, Χριστῷ σε προσήγαγε, τῇ στερρᾷ ἀθλήσει σου· καὶ τὰ σεπτά σου λείψανα, ὡς θησαυρὸν κεκτημένη, τὴν ἁγίαν μνήμην σου, χρεωστικῶς ἑορτάζει. Ἀλλὰ δίδου ταύτῃ πάντοτε, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, τῶν θείων οἰκτιρμῶν τὰς δωρεάς, καὶ τὸ μέγα ἔλεος.

Ἦχος β΄

Τὸν τῆς ἀθλήσεως ἀγῶνα, εὐσεβεῖ παρρησίᾳ ὑπελθών, τῶν ἀντικειμένων τὰς τάξεις κατέπληξας, τῇ στερροτάτῃ σου ψυχῇ, Νεομάρτυς Γεώργιε· τὰς γὰρ στρέβλας τοῦ σώματος, ὡς οὐδὲν ἡγήσω, ὡς τοῦ Χριστοῦ στρατιώτης· καὶ ἐν πυρὶ δαπανώμενος, τῆς ἐν σοὶ θείας ἀγάπης, τὴν φλόγα ὑπέφηνας, ὡς λαμπὰς φωτὸς ἀΰλου· καὶ ὡς χρυσὸς ἐν καμίνῳ δοκιμασθείς, σύμμορφος ἐδείχθης, τῶν παθῶν τοῦ Σωτῆρος· διὸ καὶ συνδεδόξασαι, ἐν τῇ ἄνω λαμπρότητι.

Ἦχος γ΄.

Ἐν νεαρᾷ ἡλικίᾳ, συνέσεως πλοῦτον γεωργῶν, τὸν ὑπὲρ Χριστοῦ θάνατον προθύμως προείλου, Ἀθλοφόρε Γεώργιε· πάντα γὰρ ὡς σκύβαλα, κατὰ Παῦλον ὑπεριδών, πρὸς τὸ τῆς ἀθλήσεως μέγα στάδιον, ἀνδρειοφρόνως ἐχώρησας· καὶ συμπλακεὶς τῷ τυράννῳ, κατηγωνίσω τὴν τούτου δύναμιν. Ὢ, τῆς σῆς καρτερίας, Νεομάρτυς ἀήττητε! Ὡς γὰρ ἄκμων ἀνάλωτος, τὰς πικρὰς ἀλγηδόνας, ἐν τῷ σώματι ὑπέμεινας. Καὶ νῦν τῇ ἄνω δόξῃ ἐντρυφῶν, καὶ μαρτυρικῷ στεφάνῳ κοσμούμενος, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄.

Ἐνδεδυμένος τὴν θείαν δύναμιν, τοῦ ἐχθροῦ τὴν δυναστείαν ἀπεγύμνωσας, τῇ μαρτυρικῇ σου ἐνστάσει, καὶ τῷ τῆς ψυχῆς παραστήματι, Νεομάρτυς Γεώργιε· οὐδόλως γὰρ ἐπτοήθης, τῶν χει-

www.tezaurliturgic.ro

ρῶν καὶ τῶν ποδῶν τὰς ἀνυποίστους τρώσεις· καὶ τοῦ πυρὸς ἀκμαιότερος φανείς, ὡς θῦμα εὐπρόσδεκτον, Χριστῷ προσηνέχθης. Καὶ νῦν μαρτυρικαῖς συνὼν χορείαις, ἀπαύστως ἱκέτευε, διδόναι ἡμῖν πταισμάτων ἄφεσιν.

Δόξα Πατρί. Ὁ αὐτός.

Τοῖς μαρτυρικοῖς σου ἄθλοις, τοῖς ἐν Χριστῷ ἔδειξας, τὴν κεκρυμμένην χάριν, ὑπὲρ ἥλιον λάμπουσαν, Νεομάρτυς Γεώργιε· τῶν γὰρ πάλαι Ἀθλητῶν, ἀνεζωγράφησας τὴν ἄθλησιν, ἐν ἐσχάτοις χρόνοις, καὶ μέγα στήριγμα ὤφθης τῶν πιστῶν, ἐν πικρᾷ δουλείᾳ δοκιμαζομένων. Ἀλλ' ὦ Μαρτύρων ἰσότιμε, καὶ Χριστοῦ στεφανῖτα, στήριξον ἡμᾶς, ἐν τῷ θεμελίῳ τῆς καλῆς ὁμολογίας, καὶ πρέσβευε ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν.** Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε Εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

## Στιχηρὰ προσόμοια

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν...

*Χαίροις ὁ Νεομάρτυς Χριστοῦ, ὁ ἐναθλήσας ἀνενδότῳ φρονήματι, καὶ πᾶσαν καταπαλαίσας, τῶν δυσμενῶν τὴν ἰσχύν, εὐσεβείας ὅπλοις θείῳ Πνεύματι, Γεώργιε ἔνδοξε, Ἀθλητῶν ἰσοστάσιε, κλῆμα τὸ θεῖον, γεωργίας τῆς κρείττονος, τὸ τοὺς βότρυας, ἐξανθῆσαν τῆς πίστεως, πᾶσιν ἐναποστάζοντας, τὸ νέκταρ τῆς χάριτος, ἀθλητικῇ ἀριστείᾳ, καὶ χορηγίᾳ τῇ ἄνωθεν· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.*

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

*Χαίροις ὁ Νεομάρτυς Χριστοῦ, τῆς Ἐκκλησίας ὁ ἀστὴρ ὁ νεόφωτος, τῆς πλάνης ὁ καθαιρέτης, ὁ δι' ἀγώνων*

www.tezaurliturgic.ro

στερρῶν, τῶν πιστῶν στηρίξας τὰ φρονήματα· ὡς ἄλλου γὰρ πάσχοντος, τὰς βασάνους ὑπέμεινας, θυμὸν μὴ δείσας, τῶν τυράννων Γεώργιε, καὶ νεότητος τὴν ἀκμὴν παρωσάμενος. Ὅθεν ὡς ρόδον εὔοσμον, καὶ κρίνον ἡδύπνοον, τῇ μυστικῇ εὐωδίᾳ, ἡμᾶς εὐφραίνεις ἑκάστοτε, καὶ πᾶσι πρεσβεύεις, ἱλασμὸν καὶ σωτηρίαν, καὶ θεῖον ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

του Τυρνάβου

Χαίροις ὁ Νεομάρτυς Χριστοῦ, τὸ ~~τῆς Ραψάνης~~ ἱερὸν σεμνολόγημα, καὶ δόξα καὶ πολιοῦχος, καὶ πρὸς Χριστὸν πρεσβευτής, καὶ ἐν τοῖς κινδύνοις ρύστης ἕτοιμος, Γεώργιε ἔνδοξε, Ὀρθοδόξων ἀγλάϊσμα· ὁ πᾶσι νέμων, τὴν ταχεῖαν βοήθειαν, καὶ προστρέχουσι, τοῖς τιμίοις λειψάνοις σου. Ὅθεν τοὺς τὴν ἁγίαν σου, γεραίροντας ἄθλησιν, πάσης ἀνάγκης καὶ βλάβης, τήρει ἀτρώτους πρεσβείαις σου, Χριστὸν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Ἐν ἀνδρείᾳ ἀληθεῖ, τὸ ὑπὲρ Χριστοῦ δεξάμενος μαρτύριον, θαυμαστῶς ἠνδραγάθησας, ἐν τοῖς ἄθλοις Γεώργιε· ἐν ἀσθενείᾳ γὰρ φύσεως, τὸν ἰσχυρὸν ἐν κακίᾳ καταπαλαίσας, ἀπείρων βραβείων, ἐν οὐρανοῖς ἠξίωσαι, μαρτυρικῆς μετασχὼν λαμπρότητος. Διὸ ἡ Ἐκκλησία τοῦ Χριστοῦ, καυχωμένη τῇ ἀθλήσει σου, ἐπινικίους ὕμνους προσάγει σοι, καὶ τὴν ἁγίαν ἑορτάζει μνήμην σου, δοξάζουσα Χριστόν, τὸν σὲ δοξάσαντα Ἅγιε.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Νῦν ἀπολύεις. Τὸ τρισάγιον. Καὶ τὸ

www.tezaurliturgic.ro

## ᾿Απολυτίκιον.

(παλαιόν) Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

*Χριστοῦ τὸν γενναιότατον Μάρτυρα, καὶ τῆς ἐν ᾿Ολύμπῳ Ραψάνης, περικλεέστατον καύχημα, Γεώργιον τὸν Νέον ἀθλητήν, τιμήσωμεν ᾠδαῖς πνευματικαῖς, κατὰ χρέος ἐκβοῶντες, πρὸς τὸν αὐτὸν δοξάσαντα Κύριον· δόξα τῇ παναγάθῳ σου βουλῇ, δόξα τῇ εὐσπλαγχνίᾳ σου, δόξα τῇ περὶ ἡμᾶς θείᾳ προνοίᾳ σου.*

(καὶ ἕτερον, νέον) Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

*Τῆς Ραψάνης τὸν γόνον καὶ θερμὸν ἀντιλήπτορα, καὶ νεοφανῆ στρατιώτην, τοῦ τῶν ὅλων δεσπόζοντος, Γεώργιον τὸν νέον ᾿Αθλητήν, τιμήσωμεν ἐν ὕμνοις οἱ πιστοί· πᾶσαν χάριν γὰρ παρέχει παρὰ Θεοῦ, τοῖς πρὸς αὐτὸν κραυγάζουσι· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.*

Θεοτοκίον.

*Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυίδ. ᾿Εδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.*

᾿Απόλυσις.



www.tezaurliturgic.ro

# ΕΝ ΤΩ, ΟΡΘΡΩ,

Τὰ Ἀπολυτίκια, ὡς ἐν τῷ Ἑσπερινῷ.
Μετὰ τὴν α´ Στιχολογίαν, Κάθισμα·

Ἦχος α´. Τὸν τάφον σου Σωτήρ.

*Ὡς ἄνθος νοητόν, καὶ πανεύοσμον ῥόδον, ἐξήνθησας ἡμῖν, δι' ἀθλήσεως θείας, Γεώργιε μακάριε, Ἀθλοφόρων ἰσότιμε, καὶ κατηύφρανας, ταῖς νοηταῖς εὐωδίαις, τὰς ψυχὰς ἡμῶν, τῶν ἐκτελούντων ἐκ πόθου, τὴν πάνσεπτον μνήμην σου.*

Δόξα, Καὶ νῦν. Θεοτοκίον.

*Τεκοῦσα ἐν σαρκί, τὸν ὑπέρθεον Λόγον, ἐθέωσας ἡμῶν τὴν φθαρεῖσαν οὐσίαν, Παρθένε Παναμώμητε, τῇ ἀφράστῳ κυήσει σου. Ὅθεν ἅπαντες, χρεωστικῶς ἀνυμνοῦμεν, ὡς αἰτίαν σε, τῆς τῶν βροτῶν σωτηρίας, καὶ κόσμου προσφύγιον.*

Μετὰ τὴν β´ Στιχολογίαν, Κάθισμα· ἦχος γ´. Τὴν ὡραιότητα.

*Πόνων ὑπέρτερος, ὤφθης τοῦ σώματος, ἐνδυναμούμενος, Χριστοῦ τοῖς πάθεσι, καὶ πρὸς τὴν ἄπονον ζωήν, γηθόμενος μετετέθης, στέφος ἀμαράντινον, ἐκ Κυρίου δεξάμενος, ἔνδοξε Γεώργιε, καὶ χαρᾶς ἀξιούμενος, ἀλήκτου σὺν Μαρτύρων τοῖς δήμοις, ὧν ἴχνεσι Μάρτυς ἐπορεύθης.*

Δόξα, Καὶ νῦν. Θεοτοκίον.

*Σάρκα γενόμενον, ἐκ τῶν αἱμάτων σου, ἀφράστως τέτοκας, τὸν Ὑπερούσιον, μὴ ὑπομείναντα τροπήν, ἢ σύγχυσιν Θεοτόκε. Ὅθεν ὡς αἰτίαν σε, τῆς ἡμῶν ἀναπλάσεως, καὶ πηγὴν βλυστάνουσαν, οἰκτιρμῶν θεῖα ῥεύματα, ὑμνοῦμεν καὶ πιστῶς σοι βοῶμεν· χαῖρε ἡ Κεχαριτωμένη.*

www.tezaurliturgic.ro

Μετὰ τὸν Πολυέλεον, Κάθισμα· ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

*Ως νεανίας εὐπρεπὴς καὶ θεόφρων, ποικίλῃ γνώσει καὶ σεμνῇ πολιτείᾳ, ὡς ἀληθῶς διέλαμψας Γεώργιε· ὅθεν διελήλυθας, μαρτυρίου τὸ σκάμμα, καὶ ἐχθροῦ κατήργησας, τὴν ὀφρῦν καὶ τὸ θράσος, καὶ νικηφόρος ὤφθης Ἀθλητής, ἐν τοῖς ὑστέροις, καιροῖς ἀξιάγαστε.*

Δόξα, Καὶ νῦν. Θεοτοκίον.

*Ως τῶν ἁπάντων Ποιητὴν καὶ Σωτῆρα, ἀνερμηνεύτως Θεοτόκε τεκοῦσα, καὶ μετὰ τόκον μείνασα πανάφθορος, ῥῦσαί με τοῦ δράκοντος, τῆς πικρᾶς δυναστείας, καὶ τὸν νοῦν μου λάμπρυνον, μετανοίας τῷ φέγγει, καὶ σωτηρίας Κόρη πρὸς ὁδόν, ἐξ ἀνοδίας, παθῶν με κυβέρνησον.*

ΑΝΑΒΑΘΜΟΙ. Ἐκ νεότητός μου... Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου. Καὶ τὸ ΠΡΟΚΕΙΜΕΝΟΝ.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

ΕΥΑΓΓΕΛΙΟΝ· τὸ ἐν τῷ Ὄρθρῳ τοῦ Τροπαιοφόρου Ἁγίου Γεωργίου.

Ὁ Ν΄ Ψαλμός. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου...
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

ΙΔΙΟΜΕΛΟΝ. Ἦχος πλ. β΄

*Ἀθλητικοῖς στίγμασι, τοῖς ὑπὲρ Χριστοῦ ὡραϊσθεὶς Ἀθλητά, τὴν φθορὰν ἀπεβάλου, καὶ πρὸς τοὺς ἀφθάρτους νυμφῶνας ἐχώρησας, λελαμπρυσμένος Γεώργιε· καὶ τῆς θεώσεως τὸν καρπὸν τρυγήσας, τῶν αἰωνίων ἀγαθῶν, κληρονόμος γέγονας. Αὐτῶν καὶ ἡμᾶς ἀξίωσον, τῇ πρὸς Χριστὸν μαρτυρικῇ σου ἱκεσίᾳ, τοὺς πόθῳ τιμῶντάς σε.*

www.tezaurliturgic.ro

Ὁ Ἱερεύς· Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα οἱ ΚΑΝΟΝΕΣ, τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου. Ἀκροστιχίς:

«ΧΑΙΡΟΙΣ ΓΕΩΡΓΙΕ ΝΕΟΜΑΡΤΥΣ. ΓΕΡΑΣΙΜΟΥ».

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Χριστὸν ἐκδυσώπησον, δοῦναι παθῶν μοι ἐκλύτρωσιν, καὶ λόγον βραβεῦσαί μοι, ὅπως ὑμνήσω πιστῶς, τὴν σὴν ἄθλησιν, Γεώργιε παμμάκαρ, δι' ἧς ὡς νεόφωτον, ἄστρον ἀνέτειλας.

Ἀμέμπτοις ἐν ἤθεσιν, ὡς ἀληθῶς σεμνυνόμενος, καὶ βίου χρηστότητι, καλλωπιζόμενος, γνῶσιν κρείττονα, νεότητος ἐν ὥρᾳ, Γεώργιε νομίμως ἤνεγκας, νοῦ καθαρότητι.

Ἰσχὺν ἀπροσμάχητον, ἐνδεδυμένος τῆς πίστεως, εἰς γῆν καταβέβληκας, τῶν δυσμενῶν τὴν ἰσχύν, καὶ ἐνήθλησας, Γεώργιε νομίμως· διό σε ὡς Μάρτυρα, Χριστοῦ γεραίρομεν.

Θεοτοκίον.

Ρανίσι Πανάμωμε, τῆς σῆς πλουσίας χρηστότητος, τὸν νοῦν μου ἀπόπλυνον, ἐκ ρυπαρῶν λογισμῶν, καὶ συγχώρησιν, πταισμάτων μοι ἐξαίτει, καὶ βίου διόρθωσιν, ἵνα δοξάζω σε.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Οὐράνιον φρόνημα πλουτήσας, παρεῖδες φθαρτῶν τὴν μετοχήν, καὶ χαίρων διελήλυθας, τὸν δρόμον τῆς ἀθλήσεως, ἐν τοῖς ὑστέροις ἔτεσι, Μάρτυς θεόφρον Γεώργιε.

Ἰδού ὥσπερ ἔαρ ἐπεφάνη, ἡ μνήμη σου Μάρτυς ἡ σεπτή, ὡς ρόδον εὐωδέστατον, προβάλλουσά σε Ἅγιε, εὐφραῖνον τὴν διάνοιαν, τῶν εὐσεβῶν θείᾳ χάριτι.

Σαρκὸς φθειρομένης μὴ φροντίσας, ὀνύχων σπαράγματα σοφέ, καὶ τῶν ποδῶν τὴν ἥλωσιν, καὶ τοῦ πυρὸς τὴν ἔκκαυσιν, ὑπέμεινας ὡς ἄσαρκος, δρόσον τὴν θείαν δεχόμενος.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Γενοῦ μοι Παρθένε προστασία, καὶ πύργος ἰσχύος ἀσφαλής, τὴν κατ' ἐμοῦ ἐπήρειαν, τοῦ δράκοντος ἀπείργουσα, καὶ πρὸς λιμένα θεῖόν με, τῆς μετανοίας ἰθύνουσα.

ΚΑΘΙΣΜΑ. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

*Τυράννων οὐκ ἔπτηξας ἐπιφορὰς χαλεπάς, καὶ πάντας ἐξέπληξας, τῇ καρτερίᾳ τῇ σῇ, θεόφρον Γεώργιε· δύναμιν γὰρ ἐδέχου, ἐκ Χριστοῦ ἀοράτως· ὅθεν ἐν εὐφροσύνῃ, τὰς στρεβλώσεις ὑπέστης, καὶ νῦν τῆς ἀνωλέθρου, τρυφῆς μακαριότητος.*

Θεοτοκίον.

*Χριστὸν ὃν ἐκύησας, τὸν ἐπὶ πάντων Θεόν, ἀπαύστως ἱκέτευε, ὑπὲρ ἡμῶν τῶν πιστῶς, βοώντων σοι Ἄχραντε· Χαῖρε ἡ τοὺς ἀνθρώπους, τῆς φθορᾶς ῥυσαμένη· Χαῖρε ἡ ὁδηγοῦσα, πρὸς ὁδὸν σωτηρίας, τοὺς πίστει προσιόντας, τῇ σκέπῃ σου Ἄχραντε.*

Ὠδὴ δ΄. Τὴν ἀνεξιχνίαστον.

Ἔστης ἀκατάπληκτος Μάρτυς σοφέ, πρὸ τῶν ἀπηνῶς τυραννούντων σε, καὶ τὰς ὀδύνας, τῆς σαρκός σου καρτερῶν, τὴν σὴν ψυχὴν ἀμώμητον, ἐκ τῆς τούτων βλάβης ἐτήρησας.

Ὢ τῆς καρτερίας σου τῆς θαυμαστῆς, Μάρτυς Ἀθλοφόρε Γεώργιε! ὅτι ἀνδρείως, ἐν λουτρῷ πυριφλεγεῖ, ῥιφεὶς φέρεις τὴν ἔκκαυσιν, ζήλῳ θεϊκῷ πυρακτούμενος.

Ῥώμῃ τῆς τοῦ Πνεύματος ἐπισκοπῆς, ἄφλεκτος διέμεινας Ἅγιε, δεθεὶς ἐν στύλῳ, καὶ ἐν νάφθῃ καὶ πυρί, φλεγόμενος Γεώργιε, καὶ τὴν πλάνην πᾶσαν κατέφλεξας.

Θεοτοκίον.

Γέφυρα μετάγουσα πρὸς τὸν Θεόν, ἐκ τῆς χαλεπῆς ματαιότητος, ὤφθης Παρθένε· ὅθεν ὕψωσον κἀμέ, ἐκ λάκκου παραπτώσεων, πρὸς ζωὴν τελείαν καὶ κρείττονα.

www.tezaurliturgic.ro

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ιλύος ἐμάκρυνας, τῶν ἐν τῷ κόσμῳ Ἅγιε, πᾶσαν τὴν διάνοιαν προθύμως, καὶ τοὺς ἀγῶνας ὑπὲρ τῆς δόξης τοῦ Χριστοῦ, δέδεξαι θερμότητι ψυχῆς, Ἀθλητὰ Γεώργιε, θείῳ πόθῳ πτερούμενος.

Ετρώθη καὶ πέπτωκεν, ἐχθρὸς ὁ πολυμήχανος, φέροντός σου Μάρτυς ἀνενδότως, τὰς πυρακτώσεις καὶ τὰς πληγὰς τῆς σαρκός, καὶ Χριστὸς ὁ πάντων Βασιλεύς, τῇ ὁμολογίᾳ σου, ἐδοξάσθη Γεώργιε.

Νοὸς καθαρότητι, τῶν ἐφετῶν τὸ ἔσχατον, Μάρτυς ἀγαπήσας ἐκ καρδίας, ἄνθος νεότητος ὡς φθειρόμενον, καὶ τὰς ἐν τῷ κόσμῳ ἡδονάς, ἀπηρνήσω Ἅγιε, καὶ προθύμως ἠγώνισαι.

Θεοτοκίον.

Εκ μήτρας σου ἔλαμψεν, δικαιοσύνης Ἥλιος, ἐν μορφῇ Παρθένε τῇ βροτείᾳ, καὶ τῆς ἀπάτης τὸν ζόφον ἔλυσεν. Οὗ ταῖς ἀστραπαῖς τὸ τῆς ψυχῆς, σκότος μου ἀπέλασον, ὡς λυχνία ἑπτάφωτος.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Ο Νεομάρτυς Γεώργιος, τὸ θεῖον τῆς Ραψάνης ἀγλάϊσμα, καὶ ~~τοῦ Ὀλύμπου~~ δέ, πυρσὸς ὁ νέος πάμφωτος, ᾀσμάτων μελῳδίαις, ὑμνολογείσθω μοι.

Μαρτυρικῶς ἠνδραγάθησας, ὑστέροις ἐν τοῖς χρόνοις Γεώργιε, ἀκμὴν νεότητος, ὑπεριδὼν καὶ τοῖς Μάρτυσιν, ἁμιλληθεὶς τοῖς πάλαι, γνώμης στερρότητι.

Αγαλλιᾶται τῇ δόξῃ σου, ~~πατρίς σου ἡ Ραψάνη~~ Γεώργιε, καὶ τὴν ἁγίαν σου, μνήμην φαιδρῶς ἑορτάζουσα, δοξάζει τὸν Σωτῆρα, τὸν σὲ δοξάσαντα.

Θεοτοκίον.

Ρῦσαι σκανδάλων τοῦ ὄφεως, καὶ πάσης ἐπηρείας καὶ θλίψεως, Παρθένε Ἄχραντε, τοὺς καθ' ἑκάστην προστρέχοντας, τῇ κραταιᾷ δυνάμει, τῆς προστασίας σου.

www.tezaurliturgic.ro

ΚΟΝΤΑΚΙΟΝ. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

***Μ**αρτυρίου ἤνυσας στερρῶς τὸν δρόμον, Ἀθλητὰ Γεώργιε, καὶ καταυγάζεις τῷ φωτί, τῶν σῶν ἀγώνων ἐν Πνεύματι, τοὺς ἀνυμνοῦντας τὴν θείαν σου ἄθλησιν.*

ΟΙΚΟΣ.

***Ε**ν τῷ λειμῶνι τῆς ἀθλήσεως ἤνθησας, ὥσπερ ἄνθος εὐῶδες Γεώργιε, καὶ τῇ τῶν ἄθλων γεωργίᾳ διέπνευσας, τῆς εὐσεβείας τὴν ὀσμὴν τὴν οὐράνιον, καὶ κατευφραίνεις μυστικῶς, τὰς διανοίας τῶν πιστῶν, τῇ χάριτί σου Μάρτυς· τῇ θείᾳ στοιχειωθεὶς ἀγάπῃ, τὰ πάντα παρεῖδες, καὶ πρὸς μαρτυρικοὺς ἀγῶνας, προθύμως ἐχώρησας· καὶ ἐν αὐτοῖς ποικιλοτρόπως δοκιμασθείς, καὶ ἀνώτερος ποινῶν καὶ βασάνων καὶ πυρὸς ἀναφανείς, ὡς ἡνωμένος τῷ θείῳ φωτί, Ἀγαρηνῶν τὴν ὀφρὺν κατήσχυνας, καὶ τοῦ Χριστοῦ τὴν πίστιν ἐδόξασας· καὶ μαρτυρικῷ διαδήματι κοσμηθείς, πάσης ἀνάγκης ῥύῃ καὶ συμφορᾶς, τοὺς ἀνυμνοῦντας τὴν θείαν σου ἄθλησιν.*

ΣΥΝΑΞΑΡΙΟΝ

***Τῇ 5ῃ τοῦ μηνὸς Μαρτίου, μνήμη τοῦ ἁγίου ἐνδόξου νεομάρτυρος Γεωργίου τοῦ ἐκ Ραψάνης τῆς ἐν Ὀλύμπῳ τῆς Θεσσαλίας,** καὶ ἐν Τυρνάβῳ **ἀθλήσαντος ἐν ἔτει αωιη΄ (1818).***

Στίχ. Χριστῷ δι' ἀθλήσεως ἐγεωργήθης,
Γεώργιε ἄριστον καρπὸν ἐνέγκας.
Πέμπτῃ Γεώργιος ἠνέγκατο γέρας ἀέθλων μέγα.

**Ο**ὗτος ὁ νέος τοῦ Χριστοῦ ἀθλητὴς Γεώργιος, ἦν ἔκ τινος κωμοπόλεως, ἧς κλῆσις Ραψάνη, εὑρισκομένης παρὰ τὸν Ὄλυμπον τῆς Θεσσαλίας. Ἤθλησεν ἐν Τυρνάβῳ τῷ δεκάτῳ καὶ ἐνάτῳ αἰῶνι, γονεῖς ἔχων εὐσεβεῖς, Χατζῆ - Λάσκαριν καὶ Σμαράγδαν καλουμένους, οἵτινες ἀνέθρεψαν καὶ προήγαγον τοῦτον ἐν πάσῃ εὐσεβείᾳ καὶ «παιδίᾳ καὶ νουθεσίᾳ Κυρίου». Ἐν τῇ πατρίδι αὐτοῦ ἐξεπαιδεύθη καλῶς, ἐν τῇ ὑπαρχούσῃ καὶ ἀκμαζούσῃ τότε ἐκεῖ Σχολῇ, κάτοχος γενόμενος πλείστων γνώσεων, καὶ δυνάμενος καὶ ἑτέρους διδάξαι, καταστὰς οὕτω διδάσκαλος τῶν νέων, οὔπω συμπληρώσας τὸν εἰκοστὸν τῆς ἡλικίας ἐνιαυτόν.

Ἐδίδασκεν οὖν ἐν ζήλῳ καὶ προθυμίᾳ τοὺς φοιτῶντας αὐτῷ μεθ' ὧν ἦν καί τις Ἀγαρηνῶν παῖς, ἐκ τῆς κωμοπόλεως Δερελὶ λεγομένης (νῦν

www.tezaurliturgic.ro

δὲ Γόννοι) προερχόμενος, ὃς ἐκ τῆς συχνῆς μετὰ τοῦ διδάσκοντος ἀναστροφῆς καὶ τῆς χρηστότητος τῶν τρόπων καὶ τῆς λοιπῆς τῶν Χριστιανῶν ἐν λατρείᾳ λαμπρότητος, ἐδέξατο ἀπαρχὰς ἱερᾶς ἀλλοιώσεως. Γνόντες τοῦτο οἱ τεκόντες αὐτόν, θυμῷ καὶ μανίᾳ συνεσχέθησαν κατὰ τοῦ Γεωργίου, ὃν δέσμιον ἀπήγαγον εἰς Τύρναβον, πολλὰ καταμαρτυροῦντες αὐτοῦ εἰς τὸν ἐκεῖ τὴν ἕδραν ἔχοντα Βελῆ Πασάν, υἱὸν ὄντα τοῦ 'Αλῆ Πασᾶ, τυράννου τῶν 'Ιωαννίνων, Σατράπην Θεσσαλίας. 'Εκεῖ ὁ μακάριος Γεώργιος, μηδὲν πτοηθείς, μεγαλοφώνως ὡμολόγησε τὴν εὐσεβῆ πίστιν, εὐθαρσῶς κηρύξας τὸν Χριστόν.

Τοῦτο σφόδρα ἠρέθισε τοὺς δυσσεβεῖς, οἵτινες φρικτοῖς κολαστηρίοις καὶ ἀφορήτοις ἀλγηδόσι καὶ τιμωρίαις ὑπέβαλον αὐτόν, ὡς ἑξῆς:

Γυμνώσαντες ἐνέκλεισαν ἐν λουτρῷ ὑπερκεκαυμένῳ· ἱμάσιν εἶτα τοὺς δακτύλους συνεσφίχθη· ἐδέξατο κεντήματα ὀνύχων· πετάλοις τοὺς πόδας προσηλώθη· διεπομπεύθη ἐν ταῖς ὁδοῖς τοῦ Τυρνάβου· ὑπέστη ἐξαρθρώσεις· ἐδέχθη πεπυρακτωμένον σιδηροῦν στέφανον ἐπὶ σώματος γυμνοῦ· περαιωθεὶς τοῦ Τιταρησίου ποταμοῦ (τοῦ καὶ Σαλαμπριᾶ καλουμένου), προσεδέθη σχοινίοις ἐν στύλῳ τετραγώνῳ ἰσομήκει τῷ σώματι, καὶ πίσσῃ καὶ νάφθῃ καὶ ἑτέραις ἐλαιώδεσιν οὐσίαις περιαλειφθείς, παρεδόθη τῷ πυρί. 'Αλλ' ἐπιφθάσασα ἡ ἄνωθεν τοῦ Σωτῆρος χάρις, οὔτε θρίξ, ὢ τοῦ θαύματος! τοῦ Μάρτυρος ἐλυμάνθη τῷ πυρί, τῶν δεσμῶν μόνον καέντων, καὶ οὕτως ἀπετμήθη τὴν κεφαλήν, τελέσας τὸν τῆς μαρτυρίας ἀγῶνα, ὁμολογῶν τὴν καλὴν ὁμολογίαν ἀμετατρέπτῳ φρονήματι, καὶ ἐνεταφιάσθη ἐγγὺς τῆς ἐκεῖ γεφύρας.

'Ετελειώθη ὁ καλλίνικος νέος μεγαλομάρτυς Γεώργιος τῇ 5ῃ Μαρτίου μηνός, τοῦ σωτηρίου ἔτους αωιη' (1818), τὸ εἰκοστόν που τῆς ἡλικίας ἄγων ἔτος. Δοξάζων δὲ ὁ Κύριος καὶ Θεὸς ἡμῶν τὸν θαυμαστὸν αὐτοῦ Νεομάρτυρα, τῇ πρώτῃ νυκτὶ ἔδειξεν ἐπὶ τοῦ τάφου αὐτοῦ οὐρανομήκη στῦλον φωτός, ὅνπερ ἰδόντες οἱ 'Αγαρηνοὶ καὶ τῇ ἑπομένῃ λάμποντα θαυμαστῶς, ἐξέστησαν σφόδρα· καὶ κελεύσει τοῦ τυράννου, μετεκόμισαν ἐκεῖθεν τὸ ἱερὸν τοῦ Μάρτυρος λείψανον συγγενεῖς αὐτοῦ μετὰ τρεῖς ἡμέρας, ἤτοι τῇ η' (8) Μαρτίου εἰς τὴν ἑαυτοῦ πατρίδα Ραψάνην καὶ ὁσίως καὶ εὐλαβῶς ἐνεταφίασαν τοῦτο. 'Εν τῇ Ραψάνῃ σώζονται τὰ τίμια αὐτοῦ λείψανα, ἰάσεις πηγάζοντα καὶ θαυματουργοῦντα τῇ ἐνεργείᾳ τοῦ 'Αγίου Πνεύματος, τοῖς μετὰ πίστεως καὶ εὐλαβείας προσερχομένοις αὐτοῖς, καὶ ἐξαιτοῦσι τὴν τοῦ 'Αγίου βοήθειαν καὶ ἀντίληψιν.

Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. 'Αμήν.

'Ωδὴ ζ'. **Οὐκ ἐλάτρευσαν.**

Τὴν σὴν ἄθλησιν, ὁ ἀθλοθέτης Κύριος, δοξάζων Ἅγιε, ἀπ' οὐρανοῦ θαυμαστῶς, πυρίμορφον ἔδειξεν, στῦλον ὁλόφωτον, ἐν τῷ τάφῳ σου, Γεώργιε ἐκπλήττοντα, τοὺς τὸ θαῦμα καθορῶντας.

www.tezaurliturgic.ro

Ὕμνοις ἤνεσαν, οἱ εὐσεβεῖς Γεώργιε, Χριστὸν τὸν Κύριον, ἐπὶ τοῦ τάφου τοῦ σοῦ, τὸ φῶς τὸ οὐράνιον, ἐκλάμπον βλέποντες, οἱ δὲ ἔκγονοι, τῆς Ἄγαρ ἠμαυρώθησαν, καὶ ᾐσχύνθησαν εἰς τέλος.

Σοῦ τὰ λείψανα, τὰ ἱερὰ Γεώργιε, ὡς ὄλβον ἔνθεον, Ραψάνη ἡ σὴ πατρίς, πλουτοῦσα γεραίρει σου, τὴν θείαν ἄθλησιν, καὶ ἰάματα ψυχῆς ὁμοῦ καὶ σώματος, ἐξ αὐτῶν ἀεὶ καρποῦται.

Θεοτοκίον.

Γεωργήσασα, ἀγεωργήτως Ἄχραντε, ὑπὲρ κατάληψιν, τὸν γεωργὸν τοῦ παντός, Χριστὸν τὸν Θεὸν ἡμῶν, ἡμῖν γεώργησον, παθῶν λύτρωσιν, ἀρότρῳ τῆς πρεσβείας σου, Παναγία Θεοτόκε.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ἔφερες πληγὰς καὶ τὰς ὀδύνας, Γεώργιε ἐν τῷ σώματι ὡς ἄσαρκος, καὶ κατετραυμάτισας, ἐν τῇ καρτερίᾳ σου, τῶν δυσσεβῶν τὸ σύστημα καὶ χαίρων ἔψαλλες. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ρῶσιν καὶ χαρὰν καὶ εὐφροσύνην, καὶ θεῖον ἁγιασμὸν καὶ παθῶν λύτρωσιν, πίστει προσερχόμενοι, τοῖς σεπτοῖς λειψάνοις σου, λαμβάνομεν Γεώργιε ἀξιοθαύμαστε· ἡ χάρις γὰρ ἡ θεία ἐν τούτοις, ἄνωθεν σκηνοῦσα, τὰ κρείττονα παρέχει.

Ἄνωθεν φῶς θεῖον ἐπιλάμπον, τῷ τάφῳ σου Ἀθλητὰ Χριστοῦ Γεώργιε, ἐμφανῶς ἐδήλωσεν, ἣν ἔσχες λαμπρότητα, καὶ δόξαν ἀνεκλάλητον ὡς ἀριστεύσας καλῶς· διὸ τοὺς σοὺς ἀγῶνας τιμῶμεν, καὶ ὑπερυψοῦμεν Χριστὸν τὸν ἀθλοθέτην.

Θεοτοκίον.

Σάρκα ἐξ αἱμάτων σου τῶν θείων, ὁ Λόγος ὁ παντευχνήμων προσελάβετο, ἔννουν τε καὶ ἔμψυχον, ἀσυγχύτως Πάναγνε, θεώσας τὸ ἀνθρώπινον δι' ἀγαθότητα· διό σου τὰ πολλὰ μεγαλεῖα, ἀνυμνολογοῦμεν, Παρθένε εἰς αἰῶνας.

www.tezaurliturgic.ro

'Ωδὴ θ΄. Ἅπας γηγενής.

Ἴθυνας τὸν νοῦν, τὸν σὸν ἐκ νεότητος, Μάρτυς Γεώργιε, πρὸς Χριστὸν τὸν Κύριον, καὶ μαρτυρίου χαίρων τὸ στάδιον, γνώμῃ διήνυσας καὶ ἴσος πέφηνας, τῶν Μαρτύρων, Ἀθλητὰ τῶν πρότερον, ὡς αὐτῶν μιμητὴς καὶ ὁμότροπος.

Μέγαν ἀρωγόν, Ραψάνη σε κέκτηται ἡ σὲ βλαστήσασα, Ἅγιε Γεώργιε, καὶ ἐν σοὶ χαίρει καὶ ἐπαγάλλεται, καὶ τὴν ἁγίαν μνήμην σου πανηγυρίζουσα, ἐκβοᾷ σοι· Χαίροις ἐμὸν καύχημα, Νεομάρτυς καὶ θεῖον προσφύγιον.

Ὁ νεοφανής, ὁπλίτης τῆς πίστεως καὶ Μάρτυς ἔνθεος, Ἅγιε Γεώργιε, καθάπερ δῶρον τοῦτον τὸν ὕμνον μου, καὶ νοητὸν θυμίαμα δέχου καὶ δίδου μοι, τῶν πταισμάτων, ταῖς λιταῖς σου ἄφεσιν, καὶ παθῶν τυραννούντων ἐκλύτρωσιν.

Θεοτοκίον.

Ὕψιστον Θεόν, τεκοῦσα ἐν σώματι τὸν ἀπερίγραπτον, πλούτῳ ἀγαθότητος, Εὐλογημένη Θεοχαρίτωτε, ἐκ λάκκου με ἀνύψωσον ταλαιπωρίας παθῶν, καὶ τὸν νοῦν μου, λάμπρυνον τῷ φέγγει σου, καὶ ζωῆς με τῆς ἄνω ἀξίωσον.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ. Γυναῖκες ἀκουτίσθητε.

*Ἀθλητικῶς ἠγώνισαι, ἐν τοῖς ὑστέροις ἔτεσι, καὶ τοῦ Βελίαρ καθεῖλες, Γεώργιε τὴν μανίαν· διὸ ὡς νέον Μάρτυρα, καὶ στρατιώτην ἄριστον, Χριστοῦ τοῦ Παντοκράτορος, τιμῶμέν σε καὶ τελοῦμεν, τὴν φωτοφόρον σου μνήμην.*

Θεοτοκίον.

*Ἀπειρογάμως τέτοκας, Θεὸν τὸν Ὑπερούσιον, σάρκα ἐκ σοῦ εἰληφότα, εἰς ἀνακαίνισιν κόσμου· διὸ Θεογεννήτρια, τὸ μέγιστον μυστήριον, τῆς ὑπὲρ νοῦν λοχείας σου, ὑμνοῦμεν καὶ προσκυνοῦμεν, τὸ χαῖρέ σοι ἐκβοῶντες.*

www.tezaurliturgic.ro

## Εἰς τοὺς αἴνους

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια:

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

*Ἄνθος τῆς νεότητος, καὶ τὴν ἐν κόσμῳ ἀπόλαυσιν, θεολήπτῳ φρονήματι, παρεῖδες ὡς πρόσκαιρα, καὶ ἤθλησας χαίρων, Γεώργιε μάκαρ, ὁμολογήσας τὸν Χριστόν, καὶ καταισχύνας πλάνην τὴν βέβηλον· διό σου ἑορτάζοντες τὴν φωταυγῆ μνήμην σήμερον, τὸν Σωτῆρα δοξάζομεν, τὸν λαμπρῶς σε δοξάσαντα.*

*Τόνων κατετόλμησας, τῶν ἀφορήτων Γεώργιε, καὶ πυρὸς τὴν κατάφλεξιν, ἀνδρείως ὑπέμεινας, ἔχων ἐν καρδίᾳ, τὸ πῦρ ὅπερ ἦλθε, βαλεῖν Χριστὸς ἐπὶ τῆς γῆς, καὶ προσηνέχθης ὡς θῦμα ἄμωμον, καὶ θεῖον ὁλοκαύτωμα, τῷ δεδωκότι σοι δύναμιν, διανύσαι τὰ σκάμματα, τῆς ἀθλήσεως Ἅγιε.*

*Ἄνωθεν ὁ Κύριος, Μάρτυς δοξάζων τοὺς ἄθλους σου, θαυμαστὸν φῶς ἐπέλαμψεν, Γεώργιε ἔνδοξε, ἐπὶ τοῦ σοῦ τάφου, ἅπασιν ἐμφαίνων, ἣν εὗρες ἐν τοῖς οὐρανοῖς, ἄφραστον δόξαν καὶ θείαν ἔλλαμψιν· διὸ καὶ τοὺς γεραίροντας, τὴν μακαρίαν σου ἄθλησιν, σκοτασμοῦ παθῶν λύτρωσαι, φωτοφόροις πρεσβείαις σου.*

*Χαίρει καὶ εὐφραίνεται, Ραψάνη Μάρτυς τῇ δόξῃ σου, ἡ βλαστήσασα κώμη σε, καὶ ἄγει ἐν ᾄσμασι, μνήμην σου τὴν θείαν, καὶ τῶν σῶν λειψάνων, προσπτυσσομένη τὴν σορόν, ἀπὸ καρδίας ἀνακραυγάζει σοι· Προστάτης ἀεὶ ἔσο μοι, καὶ Πρεσβευτὴς πρὸς τὸν Κύριον, τῶν δεινῶν με λυτρούμενος, Νεομάρτυς Γεώργιε.*

www.tezaurliturgic.ro

Δόξα Πατρί. Ἦχος πλ. α΄.

Τῆς εὐσεβείας τῷ φωτί, ἀπροσκόπτως πορευόμενος, πρὸς μαρτυρίου τὸ περίβλεπτον ὕψος, ἀνήχθης Γεώργιε· ἐν ἀνδρείᾳ γὰρ ψυχῆς, τὰς τῶν τυράννων ἐνεγκὼν ἐπιφοράς, ἀπερίτρεπτος ὤφθης, ἐν τῷ καιρῷ τῶν ἀγώνων· τὸ γὰρ πῦρ οὐκ ἔπτηξας, οὐδὲ τὰς πικρὰς ὀδύνας, ὅλῳ τῷ νοῒ ἀτενίζων Κυρίῳ· καὶ νομίμως ἀθλήσας, μαρτυρικῆς ἐπέβης εὐκληρίας. Ἀλλ᾽ ἀπαύστως πρέσβευε, τῷ Σωτῆρι καὶ Θεῷ, ὑπὲρ τῶν τιμώντων σε, Νεομάρτυς ἔνδοξε.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

## ΔΟΞΟΛΟΓΙΑ ΜΕΓΑΛΗ



www.tezaurliturgic.ro



## ΕΝ ΤΗ͂ ΘΕΙΑ͂ ΛΕΙΤΟΥΡΓΙΑ͂

ΑΠΟΣΤΟΛΟΝ ζήτει τῇ 2ᾳ Σεπτεμβρίου, τοῦ ἁγ. Μάμαντος.
ΕΥΑΓΓΕΛΙΟΝ ζήτει τῇ 23ῃ Ἀπριλίου, τοῦ Τροπαιοφόρου Γεωργίου.

Μεγαλυνάριον:

*Χαίροις τῆς Ραψάνης θεῖος βλαστός,*
*καὶ τῆς ἐν ἀθλήσει,*
*γεωργίας ἄνθος τερπνόν·*
*Χαίροις Νεομάρτυς,*
*Γεώργιε παμμάκαρ,*
*Χριστοῦ τῆς Ἐκκλησίας,* Τυρνάβου δόξα και καύχημα.
*~~ἄστρον νεόφωτον~~.*

*ΚΟΙΝΩΝΙΚΟΝ:* *Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.*

Δίστιχον

*Γεώργει Γεώργιε τῷ Γερασίμῳ*
*Νοῦν ὄντως θεόφρονα τῷ σὲ ὑμνοῦντι.*

www.tezaurliturgic.ro




Εἰς τὴν παροῦσαν μελέτην (ἐκτύπωσις πολυτελὴς FOTO - OFFSET) γίνεται ἐμπεριστατωμένη ἔρευνα καὶ παρουσίασις τοῦ Νεομάρτυρος. (Καταγωγή, οἰκογενειακὸν περιβάλλον, μόρφωσις, αἴτια καὶ συνθῆκαι τοῦ μαρτυρίου του, καθὼς καὶ ἡ ἱερὰ ἄθλησίς του).

Διατίθεται παρὰ τοῦ Ἱεροῦ Προσκυνήματος Ραψάνης - Λαρίσης.